ι Διὰ τί τὰ μὲν ὀλίγον χρόνον ἐν τῷ θερ A μῷ βρεχόμενα, αἰοιδεῖ· τὰ δὲ πολὺν, συμπίπτει καὶ γίνεται ῥυσσά; ἢ διότι τὸ θερμὸν ἐκ [τοῦ] πεπηγότος, ὑγρὸν ποιεῖ· ἐκ δὲ [τοῦ] ὑγροῦ πνεῦμα· τὰ δὲ πυκνὰ, ἀραιοῖ; τὸ μὲν οὖν πρῶτον θερμαινόμενον τὰ πεπηγότα, ὑγρότερα ποιεῖ· καὶ ἐξ ὑγρῶν πνευματοποιοῦν, ὀγκηρὰ ποιεῖ διαχέον· ὅταν δὲ μᾶλλον θερμαίνῃ τὸ πέριξ, ἀραιὸν ποιεῖ· ὥστε ἀποπνεῖται
B ἡ ἀτμίς· καὶ τὸ ὑγρὸν ξηραινόμενον, συμπίπτειν ποιεῖ τοὺς ὄγκους. συμπιπτόντων δὲ, ῥυσοῦνται τὰ πέριξ δέρματα πάντων. ἢ ἤδη ἀνωμάλως, ταύτῃ ῥυσὸν γίνεται. ια Διὰ τί ὑπὸ τῶν θερμῶν ὑδάτων μᾶλλον, ἢ ὑπὸ τῶν ψυχρῶν πήγνυνται λίθοι; πότερον ὅτι τῇ τοῦ ὑγροῦ ἐκλείψει γίνεται λίθος; μᾶλλον δὲ ὑπὸ τοῦ θερμοῦ ἢ τοῦ ψυχροῦ ἐκλείπει τὸ ὑγρόν. καὶ ἀπολιθοῦται δὴ διὰ τὸ θερμόν· καθάπερ καὶ Ἐμπεδο- C κλῆς φησὶ τάς τε πέτρας καὶ τοὺς λίθους, καὶ τὰ θερμὰ τῶν ὑδάτων γίνεσθαι. ἢ τὸ θερμὸν ἀπολιθοῖ· καὶ ὑπὸ τοῦ ψυχροῦ δὲ λιθοῦται, διὰ τὸ τὴν ὑπερβολὴν τοῦ πάγου τὸ ὑγρὸν ἀναλίσκουσαν σκληρύνειν; δῆλον οὖν ἐκ τῆς ὑπερβολῆς, καὶ τὸ ἁπλῶς. ιβ Διὰ τί ἐν τῷ θερμῷ ὕδατι ἐὰν τὸν πόδα ἔχῃ τις, ἠρεμοῦντος μὲν, ἧσσον δοκεῖ εἶναι θερμόν· ἐὰν δὲ
D κινηθῇ, θερμότερον; ἢ ὥσπερ καὶ ἐπὶ τοῦ σώματος, ἐὰν ἐν τῷ πνεύματι τροχάζῃ τις, ἀεὶ ὁ περιϊστάμενος ἀὴρ ψυχρότερος· εἰς δὲ τὸ πορρώτερον εἰσιὼν, μᾶλλον αἰσθάνεται.

ιγ Διὰ τί ἐν τῷ ἡλίῳ μᾶλλον ἢ τῇ σκιᾷ τὰ θερμὰ ψύχεται; πότερον ὅτι τὸ θερμὸν τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος φθείρεται; ἢ ὅτι ἐν μὲν τῇ σκιᾷ τὸ ψυχρὸν περιεστηκὸς θλίβει τὸ ἐνὸν θερμὸν, καὶ οὐκ ἐᾷ ἐπεξιέ- E ναι; ὥσπερ καὶ τοῖς θνήσκουσι ποιεῖ τὸ ψυχρὸν προσχεόμενον· ἐγκατακλείει γὰρ τὸ θερμὸν καὶ κωλύει ἐξιέναι· καὶ ὅλως τοῦ χειμῶνος ἅπασι συμβαίνει τὰ ἔσωθεν θερμότερα· ἐν δὲ τῷ ἡλίῳ οὐδενὸς ἀντιφράττοντος, φέρεται, καὶ θᾶττον ἀπολείπει.

ιδ Διὰ τί τὸ ἐν τῷ ἡλίῳ θερμαινόμενον ὕδωρ ὥστε λούεσθαι, οὐκ ἔστιν ὑγιεινότερον; πό- F τερον ὅτι διὰ τὸ ψύχεσθαι καὶ ἔτι ἐπεὶ τὸ σωμάτιον φρίττειν ποιεῖ; ἢ ποιεῖ μὲν καὶ τοῦτο, ἀλλὰ κἂν πολλάκις λούηταί τις, νοσερόν ἐστι; τὸ μὲν γὰρ θερμὸν, ὅλως πεπτικόν ἐστι καὶ ξηραντικόν· τὸ δὲ ψυχρὸν, σταλτικόν. ὥστε ἀμφότερα ποιεῖ τι ἀγαθόν· διὸ καὶ τὸ ὕδωρ καὶ τὸ ψυχρὸν λουομένοις καὶ τὸ θερμὸν τὸ ὑπὸ τοῦ πυρὸς, χρήσιμον.

10 Qua de causa quæ parum temporis calido in humore maduere, tument: quæ multum, hæc collabuntur, & rugant? An quoniam calor vt ex concretis humorem elicit, ita ex humore spiritum creat, densáque omnia laxat. Principiò igitur concreta tepefaciens, facit humidiora, cùm spiritum ex humidis ducens diffundit, & tumefacit. Cúmque amplius calfacit, partem summam elaxat, vt vapor inde respiret: humóque exiccatus facit, vt moles concidat, qua collapsa, cutis omniũ summa rugatur: quò autem magis contractione inæquali flaccescunt, eò rugosa multiplici asperitate efficiuntur. 11 Cur aquis calidis potiùs, quàm frigidis, lapides concrescant, atque coagmentẽtur? Vtrũ quod lapis defectu humoris consistit, caloréque potiùs, quàm frigore, humor deficit, & lapidescit calore: vt etiam Empedocles, Lapides, inquit, & saxa feruentium aquarum opera conficit. An non sólum calor elapidat, sed frigor etiam humorem nimio gelu absumendo indurat, facítque lapidem. Quod nimium frigus ita agit, simpliciter quoque ita agi posse, certum est. 12 Cur si inter aquam pedem quis teneat calidã pede quiescente aquam calidam sentiat, mouente calidiorem? An idem quod vel in toto corpore accidat. Si quis enim curriculo it, aerem, qui subinde obuiam fuerit, sentit frigidiorem, eóque magis, quò cursum agit prolixiorẽ. 13 Cur amplius in Sole, res calidæ, quàm in vmbra, refrigerantur? Vtrum quia minor calor à maiori absumitur. An quòd in vmbra frigor circumfundẽs, calorem interiotem reprimit, nec effluere sinit. Quod idem moribundis aqua offusa frigida aduehit, quippe quæ calorem concludat, & arceat, ne foras se promat. Denique per hyemem omnibus accidit calidiorem suam esse partem interiorem. At in Sole vi nulla arcẽte calor effluit, atque ocyus euanescit.

14 Cur aqua minùs salubris balneo sit, quàm Sol tepefecerit? Vtrum quia corpori adhuc insidens refrigeratur, horrorémque mouet. An est etiam istud: veruntamen & si quis ea sæpe vtatur, valetudini fiat obnoxius. Res enim calida, omnino vim coquendi; siccandíque obtinet: frigida compescere, atque contrahere potest. Itaque vtraque aliquid boni affert: quapropter aqua & frigida, & calida ex igne balneum præstat commodum.